# 17 ΙΟΥΛΙΟΥ
## Μνήμη τῆς μεγαλομάρτυρος Μαρίνης

### Εἰς τὸν μικρὸν ἑσπερινόν

(ἐπιμελείᾳ Διονυσίου Ἀνατολικιώτου)

Εἰς τὸ «Κύριε, ἐκέκραξα» ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν τὰ κάτωθι στιχηρὰ προσόμοια τῆς ἁγίας.

Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.

Τῆς ἀθληφόρου Μαρίνης δεῦτε τιμήσωμεν, τὴν φωτοφόρον μνήμην, φιλομάρτυρες πάντες· τρωθεῖσα γὰρ ἀστέκτως αὕτη Χριστοῦ, τοῦ σωτῆρος τῷ ἔρωτι, τῆς εὐσεβείας ἀνήγειρεν ἐπὶ γῆς, δι᾽ ἀθλήσεως τὸ τρόπαιον.

Τῆς πατρικῆς δυσσεβείας καταφρονήσασα, Πατρὸς τοῦ οὐρανίου, ἀνεδείχθης θυγάτηρ, καὶ νύμφη τοῦ σωτῆρος περικαλλής, τῇ γενναίᾳ ἀθλήσει σου, μεγαλομάρτυς Μαρῖνα· πάντων πιστῶν, καὶ μαρτύρων ἐγκαλλώπισμα.

Οὔτε βασάνων δριμύτης οὔτε ξεσμοὶ τῶν σαρκῶν, ἐχώρισάν σε μάρτυς, τῆς ἀγάπης Κυρίου· τὰ πάντα γὰρ ὑπέστης γνώμῃ στερρᾷ, σὺ Μαρῖνα πανεύφημε· ὅθεν ἀξίως ἐδέξω παρὰ Χριστοῦ, ἀφθαρσίας τὸ διάδημα.

Ῥήξασα κράτος τυράννων, ἀθεωτάτων σεμνή, καὶ πρὸς Θεὸν τὰς βάσεις, ἀναθεῖσα Μαρῖνα, τοῖς πᾶσιν ἀνεδείχθης, μάρτυς Χριστοῦ, οὐρανοχάλκευτον φάσγανον, ὥς περ χρυσὸς ἐν χωνείᾳ δοκιμασθέν, ταῖς αἰκίαις καλλιπάρθενε.

Δόξα. Ἦχος πλ. β´.

Μεγαλομάρτυς ἀθληφόρε, Μαρῖνα πανένδοξε, τοὺς τὴν ἄθλησιν τὴν σὴν ἑορτάζοντας ἀξίως, αἴτησαι ῥυσθῆναι πειρασμῶν καὶ θλίψεων, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, καὶ τῆς μελλούσης κρίσεως, μάρτυς παναοίδιμε.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε παρθένε· αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στίχον.

Στιχηρὰ προσόμοια. Ἦχος β´. Οἶκος τοῦ Ἐφραθᾶ.

Νύμφη περικαλλής, Μαρῖνα ἀνεδείχθης, Χριστοῦ τοῦ βασιλέως, ἀθλήσει μαρτυρίου, ἐκλάμψασα πανεύφημε.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Φύσεως ἀσθενές, καὶ χαῦνον παριδοῦσα, ὑπὲρ τῆς ἀληθείας, ἐν αἵματι Μαρῖνα, ἀνδροπρεπῶς ἐνήθλησας.

Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου.

Πρέσβευε τῷ Χριστῷ, ὡς ἔχουσα μεγίστην, Μαρῖνα παρρησίαν, ἡμῖν τὴν σωτηρίαν, καὶ ἔλεος δωρήσασθαι.

Δόξα. Τριαδικόν (ὅμοιον).

Πάτερ σὺν τῷ Υἱῷ, καὶ Πνεύματι τῷ θείῳ, Τριὰς ὑπεραγία, στερέωσον σοὺς δούλους, στερρῶς ὁμολογοῦντάς σε.

Καὶ νῦν. Θεοτοκίον (ὅμοιον).

Ἄχραντε Μαριάμ, ἡ τὸν Χριστὸν τεκοῦσα, τὸν πάντων βασιλέα, ῥῦσαι ἡμᾶς κινδύνων, πρεσβείαις σου πρὸς Κύριον.

Εἰ τύχοι ἡ μνήμη αὐτῆς ἐν Κυριακῇ, μετὰ τὸ ἀναστάσιμον στιχηρὸν τοῦ στίχου, εἰς τὸ πρῶτον ἀπόστιχον τῆς ἁγίας προτάσσεται ὁ στίχος «Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος», εἰς δὲ τὰ Δόξα, Καὶ νῦν ἀντὶ τῶν ὡς ἄνω προσομοίων λέγονται τὰ κάτωθι.

Δόξα. Ἦχος α΄ (ἐκ τοῦ μηναίου).

Ὡς ἐν πέτρᾳ στερρᾷ, τῆς ὁμολογίας Χριστοῦ προσερεισθεῖσα, Μαρῖνα πανεύφημε, τὸν παλαμναῖον ἐχθρὸν εἰς χάος ἐβύθισας, καὶ στέφος τῆς νίκης ἐπάξιον ἀπείληφας.

Καὶ νῦν. Θεοτοκίον ἐγκωμιαστικόν.

Ἦχος ὁ αὐτός (ἐκ τῆς Παρακλητικῆς).

Νεφέλην σε φωτὸς ἀϊδίου παρθένε, ὁ προφήτης ὠνόμασεν· ἐν σοὶ γὰρ ὡς ὑετός, ἐπὶ πόκον καταβάς, ὁ Λόγος τοῦ Πατρός, καὶ ἐκ σοῦ ἀνατείλας, τὸν κόσμον ἐφώτισε, τὴν πλάνην κατήργησε, Χριστὸς ὁ Θεὸς ἡμῶν· αὐτὸν ἱκετεύουσα, ἐκτενῶς Παναγία, δεόμεθα μὴ παύσῃ ὑπὲρ ἡμῶν, τῶν ἀληθῆ Θεοτόκον ὁμολογούντων σε.

Ἀπολυτίκιον τῆς ἁγίας (βλέπε ἐν τῷ μεγάλῳ ἑσπερινῷ), θεοτοκίον ὁμόηχον, καὶ ἀπόλυσις.